**δακτυλικὸν ἑξάμετρον καταληκτικὸν εἰς δισύλλαβον (εἰς δισυλλαβίαν) / dactylicus hexameter catalecticus**

Hephaest. 20. 18 sqq. τὸ δακτυλικὸν δέχεται δακτύλους καὶ σπονδείους κατὰ πᾶσαν χώραν πλὴν τῆς τελευταίας· ἐπὶ ταύτης δέ, εἰ μὲν ἀκατάληκτον εἴη, δάκτυλον ἕξει ἢ διὰ τὴν ἀδιάφορον κρητικόν· εἰ δὲ καταληκτικόν, τὰ ἀπ᾽ αὐτοῦ μεμειωμένα ἤτοι συλλαβῇ ἢ δύο συλλαβαῖς· καὶ τὸ μὲν καλεῖται καταληκτικὸν εἰς συλλαβήν, τὸ δὲ καταληκτικὸν εἰς δισύλλαβον. ἐπισημότατα δ᾽ ἐστὶν ἐν αὐτῷ τό τε ἑξάμετρον καταληκτικὸν εἰς δισύλλαβον, τὸ καλούμενον ἔπος, οἷον· ([Hom.] *Il.* I 1)

μῆνιν ἄειδε θεὰ Πηληιάδεω Ἀχιλῆος,

ἐπὶ γὰρ τῆς ἐσχάτης λέξεως τῆς ληος λείπει ὁ δάκτυλος μιᾷ συλλαβῇ.

[Hephaest.] 18ª (p. 62) προκείσθω δὲ ἡμῖν τεχνολογίας χάριν ὁ στίχος οὗτος· ([Hom.] *Il.* I 43 *et al.*)

ὣς ἔφατ᾽ εὐχόμενος, τοῦ δ᾽ ἔκλυε Φοῖβος Ἀπόλλων.

στίχος ἡρωικός· ἀπαθής· μεγέθει ἑξάμετρος · ἀποθέσει καταληκτικὸς εἰς τροχαῖον· τομὰς δεχόμενος δύο, πενθημιμερῆ καὶ τετάρτην βουκολικήν· σχήματι πεντάσχημος, ἔχει γὰρ ἕνα μόνον σπονδεῖον, τοὺς δὲ λοιποὺς δακτύλους· ὀκτάκωλος, ὀκτὼ γὰρ ἔχει μέρη λόγου.

Choerob. 221. 18 sqq. διὰ τοῦτο γὰρ καὶ εἰς τὸ ἔπος εἰώθαμεν λέγειν· γένους μέν ἐστι δυαδικοῦ τετρασήμου, εἴδους δακτυλικοῦ, μεγέθους ἑξαμέτρου κατὰ πόδα, σχέσεως τακτικῆς, συντάξεως συνθέτου, ἀποθέσεως καταληκτικῆς τῆς εἰς δισύλλαβον, τομῆς † τῆσδε. ἐπειδὴ κυρίως τὸ μέτρον τοῦ ἔπους δακτυλικόν ἐστι πᾶν (εἰ γὰρ καὶ εὑρίσκεται σπονδεῖος ἐν αὐτῷ, ἀλλ᾽ οὖν δυνάμει καὶ αὐτὸς δάκτυλός ἐστι, τῆς δευτέρας τοῦ σπονδείου μακρᾶς ἀντὶ δύο βραχειῶν οὔσης καὶ κατὰ κρᾶσιν <δύο> βραχειῶν εἰς μίαν μακρὰν συνελθουσῶν). ἐπειδὴ οὖν δακτυλικόν ἐστι τὸ μέτρον τοῦ ἔπους, κατὰ πόδα ἕνα ἑξάμετρον, ἔχει πέντε τελείους πόδας καὶ δύο συλλαβάς, τουτέστιν ἢ σπονδεῖον ἢ τροχαῖον, τῆς τελευταίας ἀδιαφορούσης, ὡς αὐτὸς μέλλει εἰπεῖν, καλῶς φαμὲν ʻἀποθέσεως καταληκτικῆς τῆς εἰς δισύλλαβονʼ· καταλήγει γὰρ εἰς δύο συλλαβάς, λείπει δὲ μία, ἵνα γένηται τρισύλλαβον.

Trich. 374. 26 sq. ὀνομάζεται δὲ καὶ πυθικὸν καὶ ἔπος καὶ ἑξάμετρον, ὡς εἶναι τὰς πάσας αὐτοῦ ὀνομασίας πέντε … (p. 375. 2 sqq.) καὶ ἔστιν ἐν αὐτῷ περιφανέστατον καὶ ἐπισημότατον τὸ ἑξάμετρον δακτυλικὸν καταληκτικὸν εἰς δισύλλαβον, οἷά εἰσι τά τε Ὁμήρου καὶ Ἡσιόδου καὶ τῶν λοιπῶν ποιητῶν, καὶ δὴ καὶ τὰ προκείμενα μέτρα (p. 363. 20 sqq.).

Trich. 376. 30 sqq. ἑξάμετρα δὲ καταληκτικὰ εἰς δισύλλαβον τὰ προκείμενα τρία ἔπη (p. 377. 36 sqq.) ἰστέον δέ, ὅτι ὡς ἐπὶ τοῦ ἰαμβικοῦ καὶ τοῦ τροχαικοῦ, οὕτως καὶ ἐπὶ τοῦ δακτυλικοῦ καὶ ἁπλῶς ἐπὶ πάντων διμέτρων ἢ τριμέτρων, καταληκτικῶν ἢ ἀκαταλήκτων καὶ τῶν λοιπῶν, παντὸς μέτρου ἡ τελευταία συλλαβὴ ἀδιάφορός ἐστι, μακρὰ ἢ βραχεῖα λαμβανομένη ἀπεριέργως. διὰ τοῦτο καὶ τὸ δακτυλικὸν ἑξάμετρον, ..., εἰ δὲ καταληκτικόν, εἰ μὲν εἰς δισύλλαβον, πάλιν ἢ σπονδεῖον ἢ τροχαῖον, διὰ τὸ ἀδιάφορον ἔχειν τὴν ἐπὶ τέλους, ὡς τό· (Hes. *op.* 548 sq.)

ἠῷος δ᾽ ἐπὶ γαῖαν ἀπ᾽ οὐρανοῦ ἀστερόεντος
ἀὴρ πυροφόρος τέταται μακάρων ἐπὶ ἔργοις.

τὸ μὲν γὰρ πρότερον ἔπος εἰς τροχαῖον, τὸ δὲ δεύτερον εἰς σπονδεῖον ἀπαρτίζει.

Planvd. in Boeth. *cons.* 1 (p. 99 Papathomopoulos) εἰσὶ τὰ τῶν ἐμμέτρων τοῦ Βοηθοῦ εἴδη <κη′>, ὧν τὸ πρῶτον ἐστὶν ἐλεγεῖον, ὃ συνίσταται πρώτῳ μὲν στίχῳ ἑξαμέτρῳ δακτυλικῷ καταληκτικῷ εἰς δισυλλαβίαν, τῷ καλουμένῳ ἔπει, δευτέρῳ δὲ ἐλεγείῳ κατὰ μὲν τὸ ἡγούμενον μέρος πενθημιμερεῖ ἡρωϊκῷ, κατὰ δὲ τὸ ἑπόμενον πενθημιμερεῖ δακτυλικῷ· πενθημιμερὲς δέ ἐστι μετὰ δύο πόδας συλλαβὴ ἐκ τῆς λέξεως ἐναπολιπομένη. ἐχρήσατο δὲ τούτῳ τῷ εἴδει δίς, ἐν τῷ παρόντι τε καὶ ἐν τῷ ʻἐν σκοπέλοισιν Ἀχαιμενιδῶν.

Isaac Mon. 182. 26 sqq. δοκεῖ καὶ τοῦτο (*scil.* τὸ δακτυλικὸν ἑξάμετρον) δυνάμει καταληκτικὸν εἶναι· οὐ γὰρ ἐλλείπει ὁ τροχαῖος τοῦ σπονδείου συλλαβῇ, ὡς ἐντεῦθεν καταληκτικὸν ἐνεργείᾳ εἶναι τὸν στίχον τὸν εἰς τὸν τροχαῖον περατούμενον, ἀλλὰ χρόνῳ.

Epit. Hephaest. 359. 10 sqq. τὸ δακτυλικὸν μέτρον δέχεται δακτύλους καὶ σπονδείους κατὰ πᾶσαν χώραν πλὴν τῆς τελευταίας· ἐπὶ ταύτης δέ, εἰ μὲν ἀκατάληκτον εἴη, δάκτυλον ἕξει ἢ <διὰ> τὴν ἀδιάφορον κρητικόν· εἰ δὲ καταληκτικόν, τὰ ἀπ᾽ αὐτοῦ μεμειωμένα ἤγουν συλλαβῇ — καὶ καταληκτικὸν εἰς δισύλλαβον καλεῖται — ἤγουν δύο συλλαβαῖς — καὶ καλεῖται καταληκτικὸν εἰς συλλαβήν. ἐπίσημον δὲ τὸ ἑξάμετρον καταληκτικὸν εἰς δισύλλαβον τὸ λεγόμενον ἔπος, ὡς· ([Hom.] *Il.* I 1)

μῆνιν ἄειδε θεὰ <Πηληιάδεω Ἀχιλῆος>.

Schol. in Aristoph. *eq.* 1014 (p. 227. 13 sqq. Jones-Wilson) (ad vv. 1014-20) ἄκουε δὴ νῦν] ὁ πρῶτος στίχος ἐνταῦθα ἰαμβικὸς τρίμετρος ἀκατάληκτος, οἱ δὲ ἑξῆς ἓξ δακτυλικοὶ ἑξάμετροι καταληκτικοὶ εἰς δισύλλαβον, οἳ καὶ καλοῦνται ἔπη κυρίως, ὡςἩφαιστίων φησί (p. 21. 5 sqq). κατὰ μονοποδίαν γὰρ μετρεῖται, ὡς εἴρηται, δακτυλικά. ἐπὶ τῷ τέλει παράγραφος.

Schol. A in Hephaest. 127. 16 sqq. πᾶν γὰρ ἔπος ἑξάμετρον (*scil.* δακτυλικόν) καταληκτικόν ἐστιν εἰς δύο συλλαβὰς τῆς τελευταίας ἀδιαφορούσης μεταξὺ μακρᾶς ἢ βραχεῖας· κἂν μακρὰ δὲ ᾖ, ἀντὶ βραχείας παραλαμβάνεται. ἡ δευτέρα τοῦ δακτύλου βούλεται σώζεσθαι, ἡ μετὰ τὴν μακράν, βραχεῖα· ὥστε ὅτε μακρόν ἐστιν, ἀντὶ βραχείας παρελήφθη διὰ τὸ ἀδιάφορον εἶναι τὴν τελευταίαν.

Schol. B in Hephaest. 273. 18 sqq. ἑξάμετρον δὲ καταληκτικὸν μὲν εἰς συλλαβὴν ἐκ τῶν ὁμηρικῶν οὐκ ἔχομεν· εἴ που δέ τις ἐντύχοι, ἐστὶ τὸ μιᾷ συλλαβῇ περιττεῦον τοῦ πενταμέτρου ἀκαταλήκτου· καταληκτικὰ δὲ εἰς δισύλλαβον πάντα τὰ ὁμηρικὰ ἔπη. ἀκατάληκτον δὲ σπάνιον ἐξ αὐτῶν, ὡς τὸ·

κύκλωψ, τῆ, πίε οἶνον, ἐπεὶ φάγες ἀνδρόμεα κρέα.

Atil. Fortvn. GL VI 283. 21 sqq. de dactylico. dactylicum metrum dictum, quod ex omnibus dactylis constat. [sed melius sonat versus dactylicus hexameter, si catalecticus fiat, hoc est si disyllabum pedem in ultimo habeat, ut est: (Verg. *Aen.* IX 503)

at tuba terribilem sonitum procul aere canoro]. [*S.D.B.*]